www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΙΕΡΑΡΧΗΝ & ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΑΡΣΕΝΙΟΝ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΚΕΡΚΥΡΑΣ ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

**(οὗ ἡ μνήμη τῇ 19ῃ Ἰανουαρίου)**



**Συντεθεὶς ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος**
**ὑπὸ**
**Ἀθανασίου**

*** 2003 ***

www.tezaurliturgic.ro





# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΙΕΡΑΡΧΗΝ ΚΑΙ ΠΑΤΕΡΑ ΗΜΩΝ ΑΡΣΕΝΙΟΝ ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΚΕΡΚΥΡΑΣ ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

* * *

*Μετὰ τὸ Εὐλογητός, ἀναγινώσκομεν τὸν ψαλμὸν ΡΚΒ΄ (142).*

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετα τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε· πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμι.

Εὐθὺς δέ, *Θεὸς Κύριος...καὶ τὸ τροπάριον*

*Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Ὡς ποιμενάρχῃ ἱερῷ τῆς Κερκύρας,
καὶ τιμηθέντι θαυμασίοις ποικίλοις,
προσπίπτομεν τὰ τέκνα σου, Ἀρσένιε, πιστῶς,
καὶ παρακαλοῦμεν σε,
ἐκ κινδύνων ἁπάντων,
λύτρωσαι τὴν Νῆσόν σου,
καὶ εὐλόγει πλουσίως,
τοὺς ἐκζητοῦντας θείαν σου εὐχήν,
καὶ αἰτημάτων,
τὴν πλήρωσιν δώρησαι.

*Δόξα, Καὶ νῦν, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων;
τίς δὲ διεφύλαξεν,
ἕως νῦν ἐλευθέρους;
οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσης ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ψάλλεται ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**
*"Μνήσθητι τέκνων σου,᾿Αρσένιε Κερκύρας. ᾿Α(θανάσιος)".*

*Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ὑγρὰν διοδεύσας.*

Μιμούμενος, Πάτερ, τὸν ᾿Ιησοῦν,
πλουσίως ἐκχέεις,
ἰαμάτων τὰς δωρεάς·
διό σου, ᾿Αρσένιε, ἐκ πόθου,
κατασπαζόμεθα τίμια λείψανα.

Νενίκηκε στείρωσιν ἡ εὐχή,
τῶν σῶν γεννητόρων,
γεννηθέντος σου θαυμαστῶς,
᾿Αρσένιε, ὅθεν ἀτεκνίαν,
τῶν αἰτουμένων διάλυε τάχιστα.

Ηὐξήθης ὡς ἄλλος τις Σαμουήλ,
δοθεὶς τῷ Κυρίῳ,
ὡς ἀνάθημα ἱερόν,
ἐκ βρέφους, ᾿Αρσένιε, τρισμάκαρ,
τῶν μοναζόντων στηρίζων τὸ σύνταγμα.

*Θεοτοκίον*

Στενούμενοι βίου τοῖς λυπηροῖς,
πρὸς σέ, Θεοτόκε,
τὴν χαρὰν τῶν χριστιανῶν,
προσφεύγομεν κράζοντες ἐκ βάθους·
τὸν σκοτασμὸν τῶν ψυχῶν ἐξαφάνισον.

*Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.*

Θείας Πόλεως γόνε,
τοὺς ποθητὰς στήριξον,
τῆς ἐπουρανίου Πατρίδος,
καὶ ἀποκάθαρον,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἡμῶν τὸ φρόνημα,
ταῖς ἱεραῖς προσευχαῖς σου,
ἐν καρδίαις θέμενος,
Θεοῦ ἀγάπησιν.

Ἡ λαμπρά σου παιδεία,
θεοπρεπῶς ἥνωται,
φόβῳ ἱερῷ τοῦ Δεσπότου,
πάτερ Ἀρσένιε·
διὸ ἀξίωσον,
ἡμᾶς συνάπτειν τὴν γνῶσιν,
εὐσεβείᾳ ἄριστα,
ἐν ταπεινότητι.

Τιμηθεὶς ἐπαξίως,
ὡς καθαρός, Ἅγιε,
ἄγγελος καθάπερ Κυρίῳ,
θυσίαν ἤνεγκας·
ὅθεν ἁγίασον,
τοὺς λειτουργοὺς Ἐκκλησίας,
ὅπως ἐν ἁγνότητι,
βίου πορεύωνται.

*Θεοτοκίον*

Ἱκεσίας προσδέχου,
Χριστιανῶν, Πάνσεμνε,
καὶ ταῖς παναχράντοις χερσί σου,
Κυρίῳ πρόσφερε,
ἵνα ὡς εὔσπλαγχνος,
πᾶσι τὴν χάριν παράσχῃ,
καὶ τῶν παραπτώσεων,
δῷ τὴν συγχώρησιν.

Διάσωσον,
παντὸς κινδύνου, Ἀρσένιε πάτερ,
τὰ σὰ τέκνα καὶ δίδου αἰτήσεων πλήρωσιν,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὅπως τιμῶμεν ἀεί,
τὴν μνήμην τὴν ἱεράν σου.

Ἐπίβλεψον,
ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι,
τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.*

Χριστῷ συνεστώς,
πολλὴν ἔχεις δύναμιν,
ἐν θείαις εὐχαῖς, Ἀρσένιε ἅγιε,
ὅθεν πᾶσι παράσχου τοῖς τέκνοις σου,
τὴν εὐλογίαν τοῦ Θεοῦ,
ὡς πατὴρ φιλοστοργότατος.

*Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.*

Τοὺς δεινῶς πολεμοῦντάς με,
λογισμούς, Ἀρσένιε, κατατρόπωσον,
ὡς τοὺς σὲ αἰχμαλωτίσαντας,
τῇ εὐχῆς δυνάμει ἐξημέρωσας.

Εἰς τὴν Πόλιν τὴν ἄσειστον,
τέκνα συνεισάγαγε ὡς φιλότεκνος,
ὁ οἰκήσας Βασιλεύουσαν,
πόλιν, ὦ Ἀρσένιε, ἐπίγειον.

Καταπράϋνον κύματα,
πειρασμῶν τοῦ βίου, πάτερ Ἀρσένιε,
καὶ Χριστοῦ εἰρήνην δώρησαι,
τοῖς τὸ σὸν φωνοῦσι θεῖον ὄνομα.

*Θεοτοκίον*
Ναοὺς δεῖξον τῆς Χάριτος,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὅσοι σε, Παρθένε, πιστῶς δοξάζουσι,
καὶ τό, Χαῖρε, σοὶ προσφέρουσιν,
ἐκ ψυχῆς ἐμπόθου ὡς θυμίαμα.

*Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ὤφθης ἱερόν,
οἰκητήριον τοῦ Πνεύματος,
ἀρχιερεὺς Χριστοῦ γενόμενος,
διὸ τὴν χάριν,
τούτου δὸς ἡμῖν, Ἀρσένιε.

Νῆσον τὴν ἡμῶν,
κατευλόγησας, Ἀρσένιε,
ποιμὴν δειχθεὶς αὐτῆς θεόσοφος,
ἣν καὶ νῦν σκέπε,
ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Σκύθας τοὺς ποτέ,
Κερκυραίους πολεμήσαντας,
εὐχῇ ἁγίᾳ σου ἐνίκησας,
ὅθεν, πάτερ,
καὶ ἡμῶν τὰ πάθη νίκησον.
*Θεοτοκίον*

Ὅλος ἐκ παιδός,
παραπτώμασι συνδέδεμαι,
καὶ οὐκ ἰσχύω, Παναμώμητε,
δεσμῶν λυθῆναι,
ἅπερ σὺ αἰτῶ διάλυσον.

*Ὠιδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ.*

Ὑπέταξας, τῷ Χριστῷ σὴν ὕπαρξιν,
ἐκ ψυχῆς σου καὶ καρδίας ἁπάσης,
διὸ μισθόν,
τῶν θαυμάτων δικαίως,

ἐδέξω μέγαν, ὦ πάτερ Ἀρσένιε,
καὶ δίδως λύσιν εὐχερῶς,
προβλημάτων παντοίων, φιλόστοργε.

Ἀνέβλυσας, τοῖς διψῶσι τέκνοις σου,
ἐκ τῆς πέτρας παραδόξως τὸ ὕδωρ,
ὡς ὁ Μωσῆς,
ὅθεν βλύσον καὶ αὖθις,
τοὺς ποταμοὺς ἰαμάτων τοῖς πάσχουσιν,
ἐκ νόσων καὶ ἀσθενειῶν,
ὡς Χριστοῦ μιμητής, ὦ Ἀρσένιε.

Ῥανίδας μοι, τῶν δακρύων δώρησαι,
ἀνομβρίαν ἐν Κερκύρᾳ ὁ λύσας,
καὶ δροσισμόν,
ἐν τῷ καύσωνι βίου,
πλουσίως χέε ἁγίαις πρεσβείαις σου,
ὅπως τὸν δρόμον τῆς ζωῆς,
μετανοίᾳ τελέσω, Ἀρσένιε.

*Θεοτοκίον*

Συγχώρησιν, τῶν πταισμάτων αἴτησαι,
ἐκ Θεοῦ Παρθενομῆτορ Μαρία,
ὅτι πολλά,
καθ᾽ ἑκάστην ἡμέραν,
ἄθεσμα πράττομεν λόγοις καὶ ἔργοις τε,
καὶ μὴ ἰσχύοντες ἡμεῖς,
σὲ προβάλλομεν πρέσβιν πρὸς Κύριον.

Διάσωσον,
παντὸς κινδύνου, Ἀρσένιε πάτερ,
τὰ σὰ τέκνα καὶ δίδου αἰτήσεων πλήρωσιν,
ὅπως τιμῶμεν ἀεί,
τὴν μνήμην τὴν ἱεράν σου.

Ἄχραντε,

ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν χριστιανῶν.*

Τῆς Κερκύρας ποιμὴν ἱερώτατος,
ἀνεδείχθης, Ἀρσένιε ἅγιε,
καὶ θαυμάτων,
λαβὼν τὴν χάριν παρὰ τοῦ Χριστοῦ,
πιστῶν δέχου εὐμενῶς,
προσαγομένας σοι φωνάς,
καὶ Κυρίῳ προσάγαγε·
ὅπως πανευγνωμόνως,
μνήμην ἐπιτελῶμεν,
τὴν σὴν ὡς τέκνα ἐκ ψυχῆς,
οἱ εὐχῇ σου καταφεύγοντες.

*Προκείμενον.* Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην...

*Στίχος. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ...*

**ΕΥΑΓΓΕΛΙΟΝ**

*Ἐκ τοῦ κατὰ Ματθαῖον (ε' 14 - 19)*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη. Οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν Νόμον ἢ τοὺς Προφήτας. Οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ Νόμου, ἕως ἂν πάντα γένηται. Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος

κληθήσεται ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν. Ὃς δ᾿ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν.

*Δόξα.*

Ταῖς τοῦ Ἱεράρχου, πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός…*

*καὶ τὸ προσόμοιον.*

*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

Κερκυραίων ἅγιε καὶ θαυμαστὲ ποιμενάρχα,
ὁ θαυμάτων δύναμιν,
ἐκ Χριστοῦ δεξάμενος δέξαι δέησιν,
τῶν πρὸς σὲ ἐκ πίστεως καὶ πολλῆς ἀγάπης,
προσπιπτόντων καὶ αἰτούντων σου,
πρεσβείαν ἄμαχον πρὸς τὸν Ἰησοῦν, ὦ Ἀρσένιε·
ὅπως ἡμᾶς λυτρώσηται,
νόσων τῆς ψυχῆς καὶ τοῦ σώματος·
ἵνα πορευθῶμεν,
τοῦ βίου τὴν ὁδὸν ἐν ἀρεταῖς,
καὶ Βασιλείας γενώμεθα πολισταὶ αἰώνιοι.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.*

Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἐκ δαιμόνων δουλείας,
ἐλευθέρωσον ὅσοι πάσχουσιν, Ἅγιε,

ὡς κόρην δαιμονῶσαν,
τὸ πάλαι ταῖς εὐχαῖς σου,
ἐλευθέραν ἀπέδειξας,
ὅπως τὴν μνήμην τὴν σήν,
τιμῶμεν εὐχαρίστως.
Νικηθεῖσαν τῇ νόσῳ,
παραλύσεως αὖθις ἀπεκατέστησας,
Ἀρσένιε, ὡς πρώην·
διὸ τοὺς ἡμιπλήκτους,
ἐκ πταισμάτων ἀνάστησον,
ἵνα ὁδὸν τοῦ Χριστοῦ,
βαδίζωμεν ἐνθέως.

Ἰατὴρ δυστοκούσης,
ἐγεγόνεις, παμμάκαρ, ὡς συμπαθέστατος·
ὅθεν ψυχὰς δυστόκους,
ἀπόδειξον μητέρας,
ἀρετῶν σαῖς ἐντεύξεσιν,
ὁμολογούσας τρανῶς, Ἀρσένιε, ἰσχύν σου.

*Θεοτοκίον*

Ἐν ἀνάγκαις τοῦ βίου,
Θεοτόκε, τοῖς δούλοις σου συμπαράστηθι,
καὶ ἄχθη ἀσθενείας,
ὡς μήτηρ φιλοστόργως,
ἐκ ψυχῶν ἆρον τάχιστα,
ἡ Ἰατρὸν τῶν ψυχῶν,
τεκοῦσα καὶ σωμάτων.

*Ὠιδὴ η'. Τὸν Βασιλέα.*

Κέρκυραν σώσας,
ὀργῆς θνητοῦ βασιλέως,
ἱκεσίᾳ, Ἀρσένιε, σωφρόνως,
σῷζε αὖθις ταύτην,
ὀργῆς Παντοδυνάμου.

Εὐαρεστήσας,
ἐν ἀρεταῖς τῷ Δεσπότῃ,
ἐν εἰρήνῃ κεκοίμησαι, παμμάκαρ,
ὅθεν δίδου τέλος,
θεοφιλὲς σοῖς τέκνοις.

Ῥῦσαι μανίας,
τοῦ διαβόλου σοὺς δούλους,
καὶ τὴν χάριν παράσχου τοῦ Κυρίου,
ὅπως εὐαρέστως,
Αὐτῷ πολιτευθῶμεν.

*Θεοτοκίον*

Κέρκυραν σῶσον,
ἐκ πειρασμῶν καὶ κινδύνων,
τὴν τιμῶσάν σε, Παρθένε Πλατυτέρα,
καὶ Κυρίῳ δεῖξον,
καλῶς πορευομένην.

*Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ὑπὲρ τοῦ σοῦ ποιμνίου,
ὕψωσον τὰς χεῖρας,
Χριστοῦ ἐκμίμημα, πάτερ Ἀρσένιε,
καὶ ποταμοὺς οὐρανόθεν,
χάριτος ἄνοιξον.

Ῥευμάτων ἀσεβείας,
φύλαττε σὴν Νῆσον,
καὶ πρακτικῆς ἀθεΐας διάσωσον,
ὑπὲρ αὐτῆς ἱκετεύων,
πάτερ Ἀρσένιε.

Ἀνύστακτον προστάτην,
σὲ πλουτοῦντες, πάτερ,
οἱ Κερκυραῖοι δεόμεθα λύτρωσαι,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


ἐξ ἀσθενείας καὶ λύπης,
ἡμᾶς πρεσβείαις σου.

Σπυρίδωνα τὸν μέγαν,
καὶ λοιποὺς Ἁγίους,
νήσου Κερκύρας, Ἀρσένιε, σύναξον,
ὅπως πρεσβείαν Κυρίῳ,
ἡμῖν προσάξητε.

*Θεοτοκίον*

Ἁγνὴ Θεοκυῆτορ,
τὸν Χριστὸν δυσώπει,
σὺν Ἀρσενίῳ πιστῷ ὑπηρέτῃ σου,
ἵνα παράσχῃ σοῖς δούλοις,
πταισμάτων ἄφεσιν.

*Ἄξιόν ἐστι... καὶ τὰ Μεγαλυνάρια*

Χαίροις Βηθανίας γόνε κλεινέ,
καὶ νήσου Κερκύρας,
ἱεράρχα θαυματουργέ,
χαίροις καὶ τοῖς τέκνοις,
τὴν χάριν δὸς Κυρίου,
εὐχαῖς σου παναγίαις,
πάτερ Ἀρσένιε.

Σὲ πλουτοῦντες πρέσβυν πρὸς τὸν Θεόν,
θεῖε ἱεράρχα,
καὶ Σπυρίδωνα τὸν κλεινόν,
γόνυ τῆς καρδίας,
οἱ Κερκυραῖοι πάντες,
Ἀρσένιε, ἐν πίστει,
καὶ πόθῳ κλίνομεν.

Σὺν τῷ Ἀρσενίῳ τῷ ἱερῷ,
τῷ Καππαδοκίας,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἐκβλαστήματι θαυμαστῷ,
καὶ ἐν τῇ Κερκύρᾳ,
ἀναπαυθέντι, πάτερ,
Ἀρσένιε, δυσώπει,
τὸν Ὑπεράγαθον.

Τὸν ἐν τῇ Λευκίμμῃ σεπτὸν ναόν,
ὃν ἀνέθηκάν σοι,
ὦ Ἀρσένιε, οἱ πιστοί,
δεῖξον κολυμβήθραν,
τοῦ Σιλωὰμ τοῖς ὅσοι,
ἐν τούτῳ μετὰ πόθου,
ἀεὶ προστρέχουσι.

Τοὺς προσερχομένους πανευλαβῶς,
καὶ ἀσπαζομένους,
λείψανά σου τὰ ἱερά,
φύλαττε κινδύνων,
καὶ πάσης ἀσθενείας,
Ἀρσένιε τρισμάκαρ,
Κερκύρας καύχημα.

Τοὺς ἀτέκνους δεῖξον ταχὺ γονεῖς,
καὶ πληγὴν καρκίνου,
πὀῤῥω δίωξον τῶν πιστῶν,
φύλαξον δὲ νέους,
ναρκωτικῶν δουλείας,
καὶ λῦσον ἀσθενείας,
ψυχῆς, Ἀρσένιε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



*Τρισάγιον κλπ.*

*Εἰς τὴν ἀπόλυσιν. Στιχηρὸν προσόμοιον.*

*Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.*

Ὡς πατὴρ ἡμῶν πνευματικός,
φύλαττε τὴν νῆσον Κερκύρας,
πάτερ Ἀρσένιε,
καὶ πιστοὺς εὐλόγησον,
τοὺς σὲ τιμῶντας ἀεί,
ἐκδιώκων πρεσβείαις σου,
τὰς νόσους καὶ πάθη,
καὶ τὴν ψυχοσώτειραν διδοὺς εὐσέβειαν,
ὅπως ἐν ἡμέρᾳ ἐσχάτῃ,
μετὰ σοῦ καὶ πάντων Ἁγίων,
Παραδείσου μέτοχοι γενώμεθα.

Δέσποινα, πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς,
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου,
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

*Δι᾽ εὐχῶν.*

*Στίχοι*

Ἀρσένιε, Κέρκυραν καὶ Κερκυραίους,
Ἀεὶ πατρικῶς σκέπε ἐκ πάσης βλάβης.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ